Λιμὸν ὀϊζυρὴν ἀπαμυνομένη πολύγηρως
Νικὼ, σὺν κούραις ἠκρολόγει στάχυας.
Ὤλετο δ' ἐκ θάλπους. τῇ δ' ἐκ καλάμης συνέρι-
Νῆσαν πῦρ, καὶ ἦν ἄξυλον, ἐκ σταχύων. (θοι
Μὴ νεμέσα Δήμητερ, ἀπὸ χθονὸς εἰ βροτὸν ὄντα
Κοῦραι τῆς γαίης σπέρμασιν ἠμφίεσαν.

## ΠΑΛΛΑΔΑ.

Μηδέποτε ζήσας ὁ πένης βροτὸς, οὐδ' ἀποθνήσκει.
Καὶ ζῆν γὰρ δοκέων, ὡς νέκυς ἦν ὁ τάλας.
Οἱ δὲ τύχας μεγάλας καὶ χρήματα πολλὰ λαχόντες,
Οὗτοι τὸν θάνατον πλῶσιν ἔχουσι βίου.

Ἄδηλον.

Εἰ κρίσις ἐστὶ κάτω, καὶ Τάνταλος, οὐδὲν ἀπιστῶ
Τῇ πενίῃ, μελετῶν τὴν ὑπὸ γῆν κόλασιν.

Ἄδηλον.

Οὗτος ὁ μηδὲν, ὁ λιτὸς, ὁ καὶ λάτρις, οὗτος ὁρᾶται;
Ἐστί τινος ψυχῆς κύριος ἀλλοτρίης;

Ἀδέσποτον.

Χρήματα καὶ πόρναις παραγίγνεται· οὐκ ἀλεγίζω.
Μισείτω με τάλας χρυσὸς ὁ πορνοφίλας.

---

## ΕΙΣ ΣΙΩΠΗΝ, κεφ. οε.

## ΠΑΛΛΑΔΑ.

Ἡ μεγάλη παίδευσις ἐν ἀνθρώποισι, σιωπή.
Μάρτυρα Πυθαγόραν τὸν σοφὸν αὐτὸν ἔχω.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id332550885/302 gefördert von der Deutschen Forschungsgemeinschaft DFG